UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

Sōkratus Scholastiku Kai Ermeiu Sozomenu Ekklēsiastikē Istoria

Socrates <Scholasticus>

Mogvntiae, 1677

XLI. De Proculo Episcopo, cujusmodi vir fuerit.

urn:nbn:de:hbz:466:1-14233

Visual Library

Caput XLI.

De Proclo Epiſcopo, cujusmodi vir fuerit.

Proclus ab ineunte ætate lector fuit, & ſcholas frequentans, Rhetoricæ operam dedit. Cum autem ad virilem perveniſſet ætatem, verſabatur aſſidue cum Attico Epiſcopo, ejuſdemque Notarius fuit. Cumque magnos jam progreſſus feciſſet, ad Diaconatus gradum Atticus eum evexit. Exinde ad Presbyterii honorem promotus, à Siſinnio ſicut antea dixi, Epiſcopus Cyzici eſt ordinatus; Sed hæc quidem diu antea contigerant. Tunc vero Conſtantinopolitanæ Eccleſiæ Epiſcopatum obtinuit. Vir optimis moribus, ſi quiſquam alius, præditus. Quippe ab Attico eruditus, cunctas ejus virtutes ſtudioſe imitatus eſt. Patientiam vero magis etiam quàm Atticus excoluit. Nam hic quidem interdum terribilem ſe hæreticis exhibebat: Proclus vero placidus erga omnes fuit, dum hæreticos hac ratione potiùs quàm vi, ad rectam fidem adducere ſtuderet. Cum enim nullam omnino hæreſin exagitare inſtituiſſet, manſuetudinis dignitatem integram conſervavit, ac veluti depoſitum quoddam Eccleſiæ reſtituit. Qua in re Imperatorem Theodoſium imitatus eſt. Nam huic quidem ratum fixumque fuit, adverſus ſontes non uti imperiali poteſtate: iſti vero propoſitum erat, parvifacere ſi quis de Deo aliter quàm ipſe ſentiret.

Κεφ. μα΄.

Περὶ Πρόκλου ἐπισκόπου, ὁποῖός τις ἦν.

Πρόκλος ἐκ πρώτης ἡλικίας ἀναγνώστης ἐτύγχανεν ὤν, ἐφοίτα τε εἰς διδασκάλους, καὶ ῥητορικῆς ἐγίνετο ζηλωτής· τελέσας δὲ εἰς ἄνδρα, τὰ πολλὰ παρῆν τῷ ἐπισκόπῳ Ἀττικῷ, ὑπογραφεὺς αὐτοῦ τῶν λόγων γενόμενος· προκόψαντα δὲ αὐτόν, καὶ ἐν τῇ τάξει τῆς διακονίας Ἀττικὸς προήγαγεν· ἀξιωθεὶς δὲ καὶ πρεσβυτερείου, ὡς προεῖπον, ὑπὸ Σισιννίου πρὸς τὴν Κυζίκου ἐπισκοπὴν προεβλήθη· ταῦτα μὲν ἤδη πρότερον ἐγένετο· τότε δὴ τῆς ἐν Κωνσταντινουπόλει ἐκκλησίας τὸν θρόνον ἐκληρώθη. ἦν δὲ ἀνὴρ ἀγαθὸς τὸ ἦθος, εἴ καί τις ἄλλος· ὑπὸ γὰρ τῷ Ἀττικῷ παιδευθείς, πάντα αὐτοῦ τὰ χρηστὰ ἐμιμήσατο· τὴν δὲ ἀνεξικακίαν πλέον ἢν ἐκεῖνος ἤσκησεν· ὁ μὲν γὰρ τοῖς αἱρεσιώταις φοβερὸν ἐν καιρῷ ἑαυτὸν ἐπεδείκνυσεν· οὗτος δὲ πρᾶος τοῖς πᾶσιν ἐγίνετο, τούτῳ δὲ μᾶλλον αὐτοὺς ἢ βίᾳ προσάγεσθαι προνοῶν· αἵρεσιν γὰρ οὐδεμίαν σκύλλειν αἱρούμενος, τὸ ἀξίωμα τῆς πρᾳότητος τῇ ἐκκλησίᾳ φυλάξας ἀπέδωκε. κατὰ τοῦτο τὸ μέρος, τὸν βασιλέα μιμούμενος Θεοδόσιον· ἐκείνῳ μὲν γὰρ ἐκέκριτο, κατὰ τῶν ὑπαιτίων μὴ χρήσασθαι τῇ βασιλικῇ ἐξουσίᾳ· τούτῳ δέ, μικρὰ φροντίσαι τῶν μὴ φρονούντων περὶ θεοῦ, ἢ ἐφρόνει αὐτός.

Cap. XLII.

Qualiter hic ſcriptor probitatem Theodoſii Junioris pluribus verbis extollit.

Ob hæc igitur Imperator Theodoſius Proclum magnopere laudabat. Nam & ipſe veris Dei ſacerdotibus ſimilis erat; nec eos ullo modo probabat qui alios perſequi ſtuderent. Quin etiam audacter dixerim, cum omnes veros ac germanos ſacerdotes manſuetudine longe ſuperaſſe. Et quod de Moyſe ſcribitur in libro Numerorum: Erat Moyſes vir mitiſſimus præ cunctis hominibus qui terram incolunt: hoc & de Imperatore Theodoſio nunc dici poteſt, cum mitiſſimum eſſe præ cunctis

Κεφ. μβ΄.

Ὅτι πολλὴν καταβάλλεται λόγον ὁ συγγραφεύς, περὶ τῆς καλοκαγαθίας τοῦ βασιλέως Θεοδοσίου τοῦ νέου.

Ἐπὶ τούτοις μὲν οὖν, καὶ ὁ βασιλεὺς αὐτὸν ἀπεδέχετο· καὶ γὰρ αὐτὸς τοῖς ἀληθῶς ἱερωμένοις ἐφάμιλλος ἦν, καὶ οὐδαμοῦ τοὺς διώκειν ἐθέλοντας ἀπεδέχετο. τολμήσας δ' ἂν εἴποιμι, ὅτι τῇ πρᾳότητι καὶ πάντας τοὺς ἀληθῶς ἱερωμένους ἐνίκα, καθάπερ ἡ βίβλος τῶν ἀριθμῶν ἐπὶ Μωϋσέως φησίν, ὁ ἄνθρωπος Μωϋσῆς πρᾶος σφόδρα παρὰ πάντας τοὺς ἀνθρώπους τοὺς ὄντας ἐπὶ τῆς γῆς· ἔξεστι καὶ νῦν εἰπεῖν, ὅτι ὁ βασιλεὺς Θεοδόσιος πρᾶος σφόδρα παρὰ πάντας τοὺς ἀνθρώπους